30. Ἐὰν οἱῳδήποτε τρόπῳ ἐκποιηθῇ πρᾶγμα ἀφήλικος ἄνευ δεκρέτου, εἶτα ρατοναβιτεύσῃ (10) τὸ πραχθὲν τέλειος γεγονὼς καὶ μείνῃ σιωπῶν ἐπὶ πενταετίαν συναπτήν, οὐκέτι ἀνατραπήσεται τὸ πραχθέν, εἴτε ἀπὸ τοῦ κηδεμόνος γέγονεν ἡ ἐκποίησις, εἴτε ἀπὸ τοῦ νέου; εἰ δὲ (11) κατὰ δωρεὰν γέγονε, δεκαετίαν σκοποῦμεν, ἐπειδὴ οὐ δύναται δωρεῖσθαι ὁ νέος, εἰ μὴ προγαμιαίαν δωρεάν. ἐπὶ δὲ τοῦ κληρονόμου ἵνα ὁ αὐτὸς χρόνος δραμῇ.

30. Si quolibet modo minoris res absque decreto fuerit alienata, deinde ratam rem habuerit ipse maior factus et per quinque continuos annos nihil conquestus fuerit, res non amplius poterit retractari, siue a curatore facta sit alienatio siue ab ipso minore. Sin autem per donationem res alienata est, decem aut uiginti annos expectamus, quia donationem facere minor nisi propter nuptias potest. In heredis persona idem tempus decurrere debet. (12)

βι ς̅ τοῦ κώδ[ικος]. (13)

Codicis 1. VI.

31. Οἱ φυγάδες δοῦλοι αὐτομολοῦντες πρὸς τοὺς πολεμίους ἢ τὸν πόδα ἀποτέμνονται ἢ εἰς μέταλλον πέμπονται ἢ ἄλλῃ τιμωρίᾳ ὑποβάλλονται οἱαδήποτε.

31. Fugitiui serui ad hostes transeuntes aut pede amputato debilitantur, aut metallo dantur aut qualibet alia poena adficiuntur. (14)

32. Ἐὰν διαφόρους κωδικέλλους τις ποιήσῃ ἐν διαφόροις χρόνοις [ἐναντίους ἀλλήλοις, ὁ τε-

32. Si plures quis codicillos diuersis temporibus fecit, qui sibi inuicem aduersentur,

(1) Cod. 5, 11, 5.
(2) Voc. ὁ perperam ins. cod. laur.
(3) Sic lego pro 'ἕτερα'.
(4) Cod. 5, 12, 5.
(5) Cod. 5, 71, 10.
(6) Cod. 5, 72, 2.
(7) Addidi.
(8) Item addidi.
(9) Cod. 5, 73, 3.
(10) ῥατοναδιτεύσῃ cod. laur.
(11) Scripsi pro εἴτε.
(12) Cod. 5, 74, 3, 1, 2.
(13) Fragmenta quæ secuntur ex libro Codicis VI sumpta sunt. Videtur igitur auctor huius collectionis ex Anatolii græca Codicis uersione quædam fragmenta per ordinem excerpsisse.
(14) Cod. 6, 1, 3.

λευταῖος ἰσχυρός ἐστι· καταργεῖ γὰρ τὸν πρότερον.

33. Ἐὰν γυνὴ τελευτήσῃ ἐπὶ μητρὶ καὶ ἀδελφῇ καὶ θυγατρὶ, ἡ θυγάτηρ κληρονομεῖ.

[βι ζ̄ τοῦ κώδ(ικος)]. (3)

34. Ἐν οἱαδήποτε δίκῃ εἴτε ἰδιωτικῇ, εἴτε δημοσίᾳ, [ἐὰν] ὑποφθείρῃ τις τὸν δικαστὴν ἢ τὸν ἀντίδικον χρήμασιν, ἐκπίπτει τῆς δίκης.

35. Ὁ χρήμασιν ὑποφθαρεὶς ἢ χάριτι παραδικάσας οὐ μόνον ἀτιμοῦται, ἀλλὰ καὶ τῷ ἀδικηθέντι παρ' αὐτοῦ τὴν ζημίαν θεραπεύσει.

36. Οὐδεὶς δύναται ἀποτρέψαι τὴν ἰδίαν ἢ τὴν τοῦ προηγησαμένου ψῆφον, ὥστε οὖν οὐδὲ ἐκκαλεῖσθαι χρεία ἐστὶν ἐνταῦθα.

37. Ἐάν τις βούληται καταδίκην ἀναψηλαφῆσαι προφάσει ἀναλογαρίας, οὐ δύναται.

38. Προφάσει τοῦ νέα εὑρ[εῖσθαι] συμβόλαια οὐ δύνασαι τὴν ψῆφον ἀνατρέψαι.

39. Τὰ μεταξύ τινων πραχθέντα οὐδ' ἐπὶ ὁμοίων ὑποθέσεων δύναται ἑτέρους ὠφελεῖν ἢ βλάπτειν.

40. Καὶ ἐν ταῖς μεγάλαις καὶ ἐν ταῖς μικραῖς δίκαις ἐκκαλείσθω ὁ βουλόμενος καὶ μὴ ἡγείσθω τοῦτο ὕβριν ὁ δικαστής.

41. Ὁ φισκάλια ἢ δημόσια ἀπαιτούμενος ἤγουν ἰδιωτικὰ ὡμολογημένα μὴ ἐκκαλείσθω, ἀλλὰ καὶ ἐπιχειρήσας ποινὴν ὑποστήσεται.

posteriores firmiores sunt: nam hi prioribus derogant. (1)

33. Si mulieris mortuæ existant mater et soror et filia, filia ad eius uocatur hereditatem. (2)

[Cod. 1. VII.]

34. In quacumque causa siue priuata siue publica, si pecunia corruperit quis iudicem aduersariumue, actionem amittit. (4)

35. Qui pretio deprauatus aut gratia perperam iudicauerit non solum infamis fiet, set etiam eius, qui læsus est, damnum resarciet. (5)

36. Nemo potest suam neque decessoris sententiam reuocare, neque igitur prouocatio ab eiusmodi decreto est interponenda. (6)

37. Rem iudicatam sub prætextu computationis si quis uelit instaurari, non potest. (7)

38. Sub specie nouorum instrumentorum repertorum nequis rem indicatam instaurare. (8)

39. Res inter alios acta neque in causis similibus aliis prodesse uel obesse potest. (9).

40. Et in maioribus et in minoribus negotiis appellandi libera facultas esto, neque oportet iudicem iniuriam sibi fieri existimare. (10)

41. Quotiens fiscalis calculi satisfactio aut tributarii muneris postulatur aut etiam priuati debiti euidentis redhibitio flagitatur, appellatione est abstinendum; quod si quis contra fecerit pœnam sustinebit. (11).

---

(1) Cod. 6, 36, 3.
(2) Cod. 6, 57, 1.
(3) Supplenda uidentur.
(4) Cod. 7, 49, 1.
(5) Cod. 7, 49, 2.
(6) Cod. 7, 50, 1.
(7) Cod. 7, 52, 2.
(8) Cod. 7, 52, 4.
(9) Cod. 7, 56, 2.
(10) Cod. 7, 62, 20.
(11) Cod. 7, 65, 8.

42. Ὁ φονεὺς καὶ ὁ γοητὴς καὶ ὁ μοιχὸς καὶ ὁ ἅρπαξ ἐλεγχθεὶς καὶ συνομολογήσας οὐκ ἐκκαλεῖται· εἰ μέντοι μὴ ὁμολογήσῃ καὶ φόβῳ τῶν βασανῶν καθ' ἑαυτὸν εἶπε καὶ καταδικασθῇ, δύναται ἐκκαλεῖσθαι.

43. Ἐὰν μερὶ νομὴν ζήτησις γένηται εἶτα ἔκκλητος ἀπολουθήσῃ ὑπὸ τοῦ ἡττηθέντος, τέως μὲν ὁ νικήσας τὴν νομὴν λαμβανέτω, λοιπὸν [δὲ] (2) ζητείσθω ἡ ἔκκλητος, μηδαμοῦ τῆς δεσποτείας πρόκριμα πασχούσης.

44. Ἐὰν παῖδες κληρονομήσωσι τὸν πατέρα, οὐ δύνανται λέγειν, ὅτι "χρεωστεῖ ἡμῖν ὁ πατὴρ καὶ ἐπὶ περιγραφὴν ἀπεκτήσατο πράγματα" [καὶ] (4) ἀνατρέψαι τὰς παρ' αὐτοῦ γενομένας ἀποκτήσεις.

[βι. η̅ τοῦ κώδ(ικος)]. (6)

45. Τὰ ἰδιωτικὰ κτίσματα ιε̅ πόδας ἀπεχέτω τῶν δημοσίων, (7) ὥστε μήτε τὸ δημόσιον κινδυνεύσῃ, (8) μήτε αὐτὰ ἔτι δεδιέναι τὸ λοιπόν.

46. Ὁ ἀνανεῶν οἰκίας μὴ παρεξίτω τὸ ἀρχαῖον σχῆμα, εἰ μὴ δίκαιον τοσοῦτον ἐκτήσατο κατὰ τοῦ γείτονος. 46a. Πᾶς δὲ κτίζων ιβ̅ πόδας ἀπεχέτω καὶ ὅσα (10) βούλεται κτιζέτω καὶ θυρίδας ποιείτω καὶ μὴ ἄποψιν θαλάσσης ἀφαιρείσθω ἐξ ὀρθοῦ (11) ἀβιάστως τυγχάνουσαν. 46b. Κήπων μέντοι καὶ δένδρων μὴ εἴη δουλεία. (12) 46c. Εἰ δέ τις κτίζει (13) ἐν στενοπῷ πλεῖον ἔχοντι τῶν ιβ̅ ποδῶν [μηδὲν ἐκεῖθεν παραιτείτω, ἵνα μὴ στενοῖ τὸ δημόσιον· εἰ δ' ἧττον εἴη τῶν ιβ̅ ποδῶν], (14) κατὰ τὸ παλαιὸν κτίσμα ἤγουν σχῆμα κτιζέτω μὴ ὑψῶν ἢ θυρίδας ποιῶν (15) φωταγωγούς, εἰ μὴ ι̅ πόδες

42. Homicida et ueneficus at adulter et qui uim admisit conuictus atque confessus appellare nequit: si itaque non est confessus set contra se metu tormentorum aliquid dixit et damnatus est appellare potest. (1)

43. Si de possessione litigatum fuerit ac deinceps fuerit appellatio interposita ab eo qui uictus est, qui uictor discessit nihilominus possessionem accipiat et tum de appellatione quæratur, ita tamen ut proprietatis causa nullo adficiatur præiudicio. (3)

44. Si liberi patri successerint nequeunt dicere: "*nobis debitor pater effectus est et in fraudem nostram res alienavit*" [et] ab eo factas alienationes reuocare. (5)

[Lib. VIII Cod.].

45. Priuata ædificia XV pedes a publicis distent, ut neque publicæ ædes periculum sustineant, neque illis destructionis immineat timor. (9)

46. Qui ædes renouat pristinam formam nullomodo excedat, nisi ius tale in uicinum adquisierit. 46a. Quicumque aedificat XII pedes a uicini ædibus relinquat et quæcumque uelit faciat et fenestras aperiat neque auferat prospectum in mare directum et a nulla parte impeditum. 46b. Seruitus hortorum et arborum locum non habeat. 46c. Si quis in angiportu ædificat latiore XII pedibus [nihil inde sibi usurpet, ne uia publica angustior fiat: sin autem angustior sit XII pedibus], secundum uetus ædificium seu formam ædificet, neque altius ex-

(1) Cod. 7, 65, 2 pr. § 1.
(2) Addidi.
(3) Cod. 7, 69, 1.
(4) Addidi.
(5) Cod. 7, 75, 4.
(6) Supplenda uidetur: cf. quæ ad Ps. II § 34 monuimus.
(7) οἰκημάτων ad. Bas.
(8) —εύειν Bas.
(9) Cod. 8, 10, 9 = Bas. 58, 11. 7.
(10) ὅσον Bas.
(11) ἢ ἐκ πλαγίου Bas.
(12) εἶναι δουλείαν Bas.
(13) —οι Bas.
(14) Ex Bas. et Cod. suppleui.
(15) παρακυπτικὰς, εἰ μὴ πρότερον εἶχεν αὐτάς· φωταγωγοὺς δ' ἐξέστω ποιεῖν· εἰ δὲ πόδες ι̅ εἶεν ἐν μέσῳ καὶ τότε ἀπὸ ϛ̅ π. τοῦ πάτου, ὥστε μηδὲ ψευδοπάτιον γίνεσθαι. Bas.

εἶεν ἐν μέσῳ. τηνικαῦτα γὰρ δύναται ποιεῖν θυρίδας οὐ προκυπτικὰς ἀλλὰ φωτικάς· καὶ ταύτας ἀπὸ ϛ̄ ποδῶν τοῦ πάτου, ὥστε μὴ ψευδόπατον (1) γίνεσθαι. εἰ δὲ συμφωνηθῇ τι, φυλαττέσθω. 46d. Εἰ δὲ οἰκία μέλλει ἀνανεοῦσθαι [ἢ] (2) ἐν πρώτοις κτίζεσθαι, ρ̄ πόδας ἀπέχουσα (3) καὶ θαλάσσης ἄποψιν λυμαίνεται ἐξ εὐθέως ἢ ἐκ πλαγίου, οὐ μὴν ἀπὸ μαγειρίου (4) ἢ ἄλλων οὖσαν, ὁμοίως κἀνταῦθα εἰ σύμφωνον εἴη φυλαττέσθω.

47. Ὁ ἄρχων πληρώσας δημόσιον ἔργον καὶ γράψας τὸ ἴδιον ὄνομα μνήμην τοῦ βασιλέως μὴ ποιησάμενος καθωσιώσεως κρίνεται. ἐν γὰρ τοῖς τείχεσι τὰ τῶν βασιλέων ὀνόματα γράφεται, οὐ μὴν τῶν κτιζόντων ἀρχόντων αὐτά.

48. Ὁ χωρὶς βασιλέως ἐπιτροπῆς στενορύμιον ἢ στοὰν περικλείσας ἀποδιδότω τοῦτο, τοῦ μετὰ ταῦτα τοιοῦτο (6) τολμῶντος ποιῆσαι ν̄ νομ. προστιμωμένου.

49. Ὁ δεβίτωρ συγχωρῶν τὰ ἐνέχυρα τῷ δανειστῇ [οὐκ (8)] ἐλευθεροῦται τοῦ χρέους.

50. Ἰστέον ὅτι καὶ τῆς γυναικὸς ὑπάρχοντα τῷ πριμιπίλῳ (10) ὑπόκεινται, ὅτε ἀνεληθῶσι τὰ τοῦ ἀνδρὸς αὐτῆς καὶ τὰ τῶν νομινάτων, (11) εἰς τὸ ὑπόλοιπον.

Εἰ καὶ τὰ τοῦ ἀνδρὸς σιωπερῶς ὑπόκεινται τῇ προικὶ, ὅμως προτιμᾶται τῆς προικὸς τὸ πρεμίπιλον.

51. Οἱ κηδεμόνες τὰ πράγματα τῶν νέων ὑποτίθεσθαι οὐ δύνανται, (14) εἰ μὴ εἰς χρείας ἰδικὰς τῶν φροντιζομένων δανείζονται.

tollat neque fenestras faciat luciferas, ni forte X pedes in medio sint. tunc enim potest fenestras facere non prospectiuas set luciferas, et eas sex pedibus altiores a solo, ita tamen, ne falsum solum fiat. si quid autem pactum fuerit, seruetur. 46d. Si ædes restaurari debent aut nouæ exstrui, quæ C. p. distent et inde maris prospectui seu directo seu ex transuerso citra impedimentum (non tamen a culina uel eiusmodi loco) contingenti officiatur, si quid conuenerit, seruetur. (4a)

47. Magistratus qui opus publicum perfecerit et suum nomen inscripserit, nulla principis facta mentione, maiestatis reus erit: in muris enim principum nomina inscribi debent, non eorum magistratuum, qui ædificauerint. (5)

48. Qui sine principis permissu angiportum aut porticum incluserit, id restituat: si quis postac eiusmodi quid temptauerit, L aureorum multa plectetur. (7)

49. Debitor qui pigneribus creditori cedit non ideo debito liberatur. (9)

50. Sciendum est bona uxoris primipili necessitatibus esse obnoxia, in id nimirum quod residuum est, exhaustis uiri eius et nominatorum facultatibus. (12)

Quamuis bona mariti tacite pro dote obligentur, tamen potior dote primipili sarcina habetur. (13).

51. Tutores et curatores pupillorum minorumque res obligare nequeunt nisi in rem eorum, qui in cura tutelaue sint, pecunias acceperint. (15)

(1) —πάτιον Bas.
(2) Addidi: εἴτε οὖν Bas.
(3) ἔχουσα Bas.
(4) —ίων Bas.
(4a) Cod. 8, 10, 12.
(5) Est. Cod. 8, 11, 10: quæ lex deest in *Basilicis.*
(6) Ita Bas.: Laur. *μετὰ τοιαῦτα.*
(7) Cod. 8, 11, 20 = Bas 58, 12, 20.
(8) Adde cum Bas.
(9) Cod. 8, 13 (14), 1 = Bas. 25, 2, 38. In Bas. *'ὁ χρεώστης'* non *ὁ δεβίτωρ* est.
(10) Scripsi: laur. cum duobus λ. hic et deinceps.
(11) Scripsi iuxta lat. textum: laur. τοῦ —ου.
(12) Cod. 8, 14 (15), 4: deest lex in *Basilicis.*
(13) Ex scholio uel adnotatione hæc adiecta sunt: cf. Cod. 12, 62 (63), 3.
(14) *οἱ κ. οὐ δύν. τὰ πρ. τῶν ν. ὑποτ.* Bas.
(15) Cod. 8, 15 (16), 3 = Bas. 25, 4, 7.

52. Εἰ δὲ καὶ ἐδανείσατο εἰς ἰδίαν χρείαν (1) ὁ ἐπίτροπός σου [καὶ ὑπέθετο πράγματά σου], εἶτα μὴ τέλειος γεγονὼς συνήνεσες, οὐχ ὑπόκεινται ἰσχυρῶς.

53. Ἡ μακρὰ συνήθεια καὶ δεδοκιμασμένη (4) τάξιν ἔχει νόμου.

54. Δύναταί τις καὶ μέλλουσαν ἀγωγὴν δωρεῖσθαί (6) τινι καὶ γραμματεῖον χρεωστικόν. (7)

55. [Οὐ (9)] δύναται (10) κοινωνὸς ἐξ ἀδιαιρέτου τὸ μέρος αὐτοῦ δωρεῖσθαί τινι.

56. Εἴ τί ποτε δι' ἐπιστολῆς ἐδωρήθη σοι [καὶ παρεδόθη (12)] ἡ βραχύτης τοῦ χάρτου οὐκ ἐμποδίζει.

57. Τῆς προικὸς [ἐν τῷ γάμῳ (14)] ὁ ἀνὴρ κύριος (15)· οὐκοῦν οὐ δύναται ἡ γυνὴ (16) αὐτὴν δωρεῖσθαι.

58. Ἐὰν ἃ ἐδωρήσω ἀντιδωρήθῃ σοι, (18) οὐδὲν ἐμποδίζει ἡ προτέρα δωρεά.

[βι. $\bar{\vartheta}$ τοῦ κώδ(ικος)]. (20)

59. Ἀδελφὸς κατ' ἀδελφὸν μέγαν ἔγκλημα οὐ δύναται κινῆσαι, ἐπείτοιγε καὶ οὐκ ἀκουσθήσεται καὶ ἐξορίᾳ ὑποβληθήσεται.

60. Πολλὰ ἐγκλήματα εἰς τὸ τῆς καθοσιώσεως ἐμπίπτουσιν ἔγκλημα, ἅπερ συγκεχώρηται· ὥστε [μήτε ὁ (22)] δικαστὴς ὁ παρανόμως ψηφισάμενος ἐμπεσεῖται εἰς τοιοῦτον ἔγκλημα.

61. Μοιχ`ς μετὰ πενταετίαν τοῦ ἁμαρτάνειν οὐ δύναται κρίνεσθαι.

62. Ἡ γυνὴ μοιχείας οὐ δύναται κατηγορεῖν, εἰ καὶ αὐτὴ παρὰ τὴν οἰκείαν κοίτην ἠδίκητο·

52. Si in rem suam tutor pecuniam accepit [resque tuas obligauit], tuque nondum maior factus consenseris, inutiliter obligatæ sunt. (3)

53. Longa et comprobata consuetudo legis uicem optinet. (5)

54. Potest quis etiam futuram actionem donare [et instrumentum debiti]. (8)

55. [Non] potest qui ab indiuiso socius est partem suam alicui donare. (11)

56. Si quid per epistulam tibi donatum [traditumque] est, breuitas chartæ non est impedimento. (13)

57. Dotis, nuptiis manentibus, uir dominus est: ideoque nequit uxor eam donare. (17)

58. Non obstat prior donatio, quominus quæ olim donaueris tibi rursus donentur. (19)

[Cod. 1. VIIII].

59. Magnum crimen frater contra fratrem nequit instituere: non enim audietur, quinimo et exilio plectetur. (21)

60. Plura crimina ad maiestatis crimen referuntur, quæ tamen ueniam nanciscuntur et ideo [neque] iudex, qui contra legem iudicauerit, huius criminis reus erit. (23)

61. Adulter post quinquennium ab admisso crimine accusari nequit. (24)

62. Mulieres adulterii accusationem non habent, quamuis earum thorum uiolatum

(1) εἰς τὰ χρεά cod. laur.
(2) Addidi Bas. secutus.
(3) Cod. 8, 15 (16), 7 = Bas. 25, 4, 11.
(4) δοκιμασθεῖσα Bas.
(5) Cod. 8, 52 (53), 3 = Bas. 2, 1, 52.
(6) δωρ. ἀγ. Bas.
(7) κ. γρ. χρ. desunt in Cod. Bas.
(8) Cod. 8, 53 (54), 3 = Bas. 47, 1, 37.
(9) Dele.
(10) καὶ ins Bas.
(11) Cod. 8, 53 (54), 12 = Bas. 47, 1, 45.
(12) Addidi ex Bas.
(13) Cod. 8, 53, (54), 13 = 47, 1, 46.
(14) Addidi ex Bas.
(15) ἐστιν ad. Bas.
(16) ἡ γ. δύν. Bas.
(17) Cod. 8, 53 (54), 21 = Bas. 47, 1, 54.
(18) Μὴ Bas. male.
(19) Cod. 8, 53 (54), 23 = Bas. 47, 1, 56.
(20) Suppleui.
(21) Cod. 9, 1, 13.
(22) Suppleui.
(23) Cod. 9, 8, 1.
(24) Cod. 9, 9, 5.

ὃ γὰρ τοῖς ἀνδράσι δέδοται, τοῦτο ταῖς γυναιξὶν οὐκ ἐφεῖ[ται] ποιεῖν.

63. Ἡ φανερῶς πορνεύουσα, εἰ καὶ ὕπανδρός ἐστιν, οὐ ποιεῖ ἐνόχους τῇ μοιχείᾳ τοὺς μιγνυμένους αὐτῆς.

64. Ὁ ἐπιτροπευομένην παρ' αὐτοῦ φθείρας καὶ δημευέσθω καὶ δεπορτατευέσθω, εἰ καὶ τὰ μάλιστα τὴν τῆς ἁρπαγῆς τιμωρίαν ὑπεισιέναι ὀφείλει.

65. Ἐὰν γυνὴ μοιχευθῇ παρὰ τῷ ἰδίῳ δούλῳ, αὕτη μὲν ἀποτεμνέσθω, ὁ δὲ οἰκέτης καιέσθω.

66. Ὁ παρθένον ἁρπαζόμενος μνηστευθεῖσαν ἢ οὔ, ἢ χήραν, εἴτε ἀπελευθέραν εἴτε δούλην ἢ τῷ Θεῷ καθιερωμένην ἀποτεμνέσθω. οὗτος γὰρ οὐ μόνον εἰς αὐτὴν ἁμαρτάνειν δοκεῖ, ἀλλὰ καὶ εἰς τὸ θεῖον· ὁμοίως δὲ καὶ οἱ βοηθοῦντες αὐτῷ.

67. Ὁ φονεύσας τινὰ οὐ κατὰ γνώμην μὴ κρινέσθω ὡς ἀνδροφόνος. διὸ κἂν στρατιώτης ᾖ, μετρίως σωφρονισθήσεται.

68. (7) Ἡ γυνὴ οὐκ ἀναγκάζεται προικίζειν τὴν θυγατέρα, ἀλλ' ὁ ἀνὴρ, εἰ μὴ ἑκοῦσα [ἡ γυνὴ] (8) ποιήσῃ τοῦτο.

69. Ἐάν τις τελευτήσῃ ἐκ β̄ γυναικῶν ἔχων παῖδας, ἕκαστος τῆς ἰδίας μητρὸς τὴν προῖκα λαμβάνει, εἴγε περισώζεται. εἰ δὲ μὴ, εἴ τι μὲν εὑρεθῇ ἐν ἑκάστῃ προικὶ, λαμβάνει ἕκαστος τὸ ἴδιον· εἰ δὲ ἐλλείπῃ ἔτι τι, τότε ὁ ἐκ τοῦ πρώτου γάμου τὸ ἐλλεῖπον λαμβάνει ἐκ τῆς τοῦ πατρὸς περιουσίας. καὶ οὕτω τὴν ἐναπολειφθεῖσαν τοῦ πατρὸς περιουσίαν ἐπ' ἴσης μερίζουσιν.

70. Πέντε εἴδη τῶν ὅρκων· ὁ περὶ καλουμνίας ἢ συκοφαντίας· ὁ νεκεσσάριος ἤγουν ὁ παρὰ

sit: quod enim uiris conceditur, id mulieribus facere non licet. (1)

63. Quæ palam sese prostituit, licet in matrimonio degat, non facit eos adulterii reos, qui cum ea concumbant. (2)

64. Qui pupillam suam uitiauerit, publicationem sustineat bonorum et deportetur, quamnis raptus poenam debuerit sustinere. (3)

65. Si mulier a seruo suo stuprari sese permittat, ipsa capite plectatur, seruus uero igni cremetur. (4)

66. Qui uirginem rapiat, siue iam desponsata fuerit siue non, uel uiduam, siue libertina siue serua fuerit, uel [maxime] si Deo fuerit dicata, capite plectatur: non solum enim in eam iniuriam admittit, set etiam in Deum. Item qui auxilium præbuerint [puniantur]. (5)

67. Qui aliquem non uoluntate occiderit reus homicidii non debet iudicari. et ideo, licet miles sit, remissius castigabitur. (6)

68. Mulier filiam dotare non cogitur; set uir, nisi ultro [uxor] id fecerit. (9)

69. Si quis decesserit liberos ex duabus uxoribus relinquens, quisque matris suæ dotem accipit, siquidem extet. sin minus, quotiens aliquid in utraque dote inueniatur, quisque ex suæ matris dote id accipit. sin adhuc quædam desint, tunc filius ex prioribus nuptiis natus reliquum ex patris substantia accipit et ita demum si quid reliqui in bouis paternis fuerit, id inter se æquis partibus diuident.

70. Quinque sunt genera iuris iurandorum: iusiurandum de calumnia: necessarium

(1) Cod. 9, 9, 1.
(2) Cod. 9, 9, 22.
(3) Cod. 9, 10 un.
(4) Cod. 9, 11 un.
(5) Cod. 9, 13 un. pr. § 1.
(6) Cod. 9, 16, 1 (col. const. 4, (5), h. t.
(7) Aliqua aliunde petita subsecuntur: deinde excerpta ex libro Cod. VIIII a tit. 16 rursus incipiunt.
(8) Addidi.
(9) Cod. 5, 12, 14.

τοῦ ἀντιδίκου ἐπαγόμενος· ὁ ἰουδικιάλιος ἤγουν ὁ παρὰ τοῦ δικαστοῦ ἐπαγόμενος· ὁ βολουντάριος ἤγουν ὁ ἑτέρωθεν τοῦ δικαστηρίου ἐκ προαιρέσεως τῶν δικαζομένων καὶ ὁ ἰν λίτεμ. ἤγουν ὁ ἔκδικος.

71. Ἡ γυνὴ, εἰ πρὸ τοῦ πενθίμου χρόνου δευτερογαμήσῃ, ἄτιμος ἔστω.

72. Ἡ γυνὴ, εἰ δευτερογαμήσῃ, ἐκπιπτέτω τῶν γαμικῶν αὐτῆς κερδῶν τῶν ἐκ τοῦ πρώτου δηλαδὴ γάμου.

73. Ζήτ. βι. τοῦ κώδ. θ̄, τι ζ̄, διατ. ᾱ. Ἐάν τις τὸν βασιλέα λοιδωρήσῃ κατὰ μέθην ἢ ἄλλως πως, ὑπομενέτω μηδέν· εἰ γὰρ διὰ κουφότητα τοῦτο ἐποίησε, καταφρονείσθω· εἰ δὲ διὰ μανίας, ἐλεείσθω [εἰ δ' ἐξ ἀδικίας συγχωρείσθω], ἀναφερέσθω μέντοι τὸ πρᾶγμα τῷ βασιλεῖ καὶ λοιπὸν κατὰ τὴν ποιότητα τοῦ προσώπου αὐτοῦ ἐπιτρέπει ἢ τιμωρηθῆναι ἢ ἀφεθῆναι αὐτόν. ζήτ. καὶ βι. τῶν βασιλ[ικῶν] ξ̄ τι. λ̄ς̄, κεφ. ῑγ̄. Ἐάν τις κακῶς μνημονεύσῃ τοῦ βασιλέως, οὐχ ὑπόκειται τιμωρίᾳ τινὶ, ἀλλὰ χρὴ τὰ περὶ αὐτοῦ τῷ βασιλεῖ μηνυθῆναι· εἰ γὰρ ἀπὸ κουφότητος ἡ ὕβρις ἐξῆλθε, καταφρονητέον· εἰ δ' ἀπὸ μανίας, ἐλεημοσύνης ἄξιος, εἰ δ' ἐξ ἀδικίας, συγχωρητέον. ουχὶ αὐτὸς γὰρ ἠδίκησεν, ἀλλ' ἀδικηθεὶς ὕβρισε τὸν βασιλέα.

74. Ἐὰν ἀφῆλιξ κατὰ ἀπάτην μείζονα ἑαυτὸν εἴπῃ, οὐ βοηθεῖται. πλανωμένοις γὰρ βοηθοῦμεν, οὐκ ἀπατῶσιν.

75. Ὁ ἐπίτροπος μὴ δεδωκὼς ἀσφάλειαν, εἴ τι ἂν πράξῃ, ἄκυρόν ἐστι. διὸ οὐδὲ ἀποκαταστάσει ἐπὶ τούτων κέχρηται ὁ νέος.

76. (6) Ἐάν τις ἐλάκτισέ τινα καὶ ἀνεῖλεν αὐτὸν ἄκ[ων] οὐ κρίνεται φόνου.

77. Ὁ ξίφος ἐπιφερόμενος ἐπὶ τὸ φονεῦσαι, τῷ

i. e. ab aduersario delatum: iudiciale seu a iudice delatum: uoluntarium siue extra iudicium ab altera parte ex partis utriusque uoluntate præstitum: in litem. (1).

71. Mulier si intra luctus temporis spatium nupserit, infamis esto. (2)

72. Mulier si secundas inierit nuptias, lucra omnia nuptialia ex primo nempe coniugio amittat. (3)

73. *Quær. lib. cod. VIIII, ti. VII, const. I.* Si quis imperatori maledixerit temulentia aliaue causa, nil mali sustineat: nam si id ex leuitate fecerit, contemnendus: si ex insania, commiserandus: [si ex iniuria, remittendum est ei]. Res igitur ad principem referatur, ut ex eius personæ qualitate eum puniendum aut dimittendum esse statuat. *quære etiam lib. Basil. LX, ti. XXXVI, c. XIII.* Si quis imperatori maledixerit, pœna non adficietur: set de eo princeps certior fieri debet. nam si ex leuitate iniuria processerit, contemnendum id est: si ex insania, miseratione dignum; si ex iniuria, remittendum. non enim ipse offendit, set offensus imperatoris nomen iniuria lacessivit.

74. Si minor dolo se maiorem esse dicat, non adiuuatur. errantibus enim succurimus, non fallentibus. (4)

75. Tutor qui satis non dederit, si quid gesserit, inritum est. ideoque in integrum restitutione in eiusmodi casibus minor non indiget. (5)

76. Qui calcis ictu alium inuitus occidit, homicidii non damnatur. (7)

77. Qui cum telo ambulauerit hominis

(1) Cfr. schol. 1 Bas. 22, 5, 31.
(2) Cod. 5, 9, 1 pr.
(3) Cod. 5, 9, 3.
(4) Cod. 4, 42 (43), 2.
(5) Cod. 5, 42, 3.
(6) Hinc rursus incipit locorum collectio ex libro Cod. VIIII secundum Anatolii uersionem.
(7) Cod. 9, 16, 4 (5).

κορνελίῳ κρατεῖται, ὥσπερ καὶ ὁ φονεὺς ἢ ὑποθέμενός τινι φονεῦσαι.

necandi causa lege Cornelia tenetur, sicut is qui occiderit uel cuius dolo malo alius occiderit. (1)

78. Ἡ γοητεία ἡ ἕλκουσα εἰς ἔρωτα λογισμοὺς ἀπαγορευέσθω. ἡ μέντοι ἐπὶ θεραπείᾳ σώματος γενομένη ἢ διὰ τὸ ἐπισχεῖν βροχὴν ἢ χάλαζαν σωτηριώδης οὖσα φυλαττέσθω μηδενὶ κίνδυνον φέρουσα.

78. Ars magica quæ animos ad amorem inducit uetetur. quæ autem ad remedia corpori quærenda, uel ad procellas grandinemque coercendas pertinet, utpote quæ salutaris sit et periculum nemini præseferat, seruetur. (2)

79. Οἱ εὑρισκόμενοι γοηταὶ θηρίοις παραβαλλέσθωσαν· οὗτοι γὰρ τὰ στοιχεῖα ταράττουσι καὶ τὴν ζωὴν ἑτέρων βλάπτουσι καὶ ἐχθροὺς λυμαίνονται.

79. Qui inueniuntur magi feris tradantur: isti enim et elementa turbant et aliorum uitam labefactant et inimicos conficiunt. (3)

80. Οἱ ἀξιωματικοὶ οὐχ ὑπόκεινται βασάνοις, εἰ μὴ ἐπὶ τῆς καθωσιώσεως.

80. Honestiores tormentis non subduntur, excepta maiestatis causa. (4)

81. Ὁ ἀλλότριον δοῦλον ὑποδεξάμενος καὶ κρύψας καὶ φυγαδεύσας ἐνάγεται διὰ τοῦ δεσπότου τοῦ δούλου τῷ φαβίῳ (5). διὰ προκουράτορα δὲ τῇ σέρβι κορροῦπτι.

81. Qui alienum seruum suscepit et occultauit et fugæ dedit conuenitur a domino serui ex lege Fabia, uel a procuratore actione serui corrupti. (6)

82. Ὁ ποιήσας πλαστὸν συμβόλαιον οὐκ ἐκφεύγει τὸ ἔγκλημα ἀπὸ τοῦ λέγειν, ὅτι οὐ κέχρημαι αὐτῷ. τούτῳ γὰρ τῷ λόγῳ κεχρημένος βοηθεῖται ὁ εὑρὼν πλαστὸν συμβόλαιον, οὐ μὴν ὁ ποιήσας. οὗτος γὰρ κἂν μὴ κέχρηται κολάζεται.

82. Qui falsum fecerit instrumentum non ideo accusationem euadit, quia ait *sese eo non uti.* hac enim ratione adiuuatur qui falsum instrumentum inuenit, non qui composuit. hic enim, licet eo non utatur, punitur. (7)

83. Τὸ τοῦ πλαστοῦ ἔγκλημα οὐκ ἀποκλείεται χρόνῳ, εἰ μὴ εἰκοσαετίᾳ, ὥσπερ καὶ τἆλλα σχεδὸν ἐγκλήματα.

83. Querella falsi temporis præscriptione non excluditur, nisi XX annorum exceptione, sicut cetera quoque fere crimina. (8)

84. Ὁ κρύπτων ἢ κλέπτων διαθήκην τῷ τῆς πλαστογραφίας ἐγκλήματι ὑποβάλλεται.

84. Qui celavit uel amouit testamentum falsi crimini obnoxius est. (9)

85. Ὁ ὑπογράψας συμβόλαιον οὐ δύναται πλαστοῦ κατηγορεῖν αὐτοῦ. οὔτε δὴ ἡ γυνὴ πλαστοῦ κατηγορεῖν δύναται, εἰ μὴ ἄρα διαφέρει αὐτῇ.

85. Qui instrumentum subscripsit, nequit id falsum arguere. nec mulier falsi accusare potest, ni forte sua referat. (10)

86. Εἰ τραχεῖά ἐστιν ἡ πλαστογραφία, ὑποκείσθω ὁ ταύτην ποιήσας κεφαλικῇ τιμωρίᾳ. εἰ δὲ μή, δεπορτατευέσθω.

86. Si magnum sit crimen falsi, qui eum admiserit capite puniatur: sin minus, deportetur. (11)

---

(1) Cod. 9, 16, 6 (7).
(2) Cod. 9, 18, 4.
(3) Cod. 9, 18, 6.
(4) Cod. 9, 18, 7.
(5) Correxi: cod. φουφίῳ.
(6) Cod. 9, 20, 2.
(7) Cod. 9, 22, 8.
(8) Cod. 9, 22, 12.
(9) Cod. 9, 22, 14.
(10) Cod. 9, 22, 19.
(11) Cod. 9, 22, 22, 2.

87. Καὶ ὁ κατηγορῶν ἄδειαν ἔχει ἐγκληματικῶς ἢ χρηματικῶς κινεῖν.

88. Ὁ ἄρχων κλέψας χρήματα τὴν κεφαλὴν ἀπολείτω.

89. [Οὐ] (3) δύναται κατὰ μητρυιᾶς τῆς κληψάσης πρὸ τῆς ἀδιτίονος κινῆσαι τὸ ἐξπιλάταε νερεδιτάτις (4) ἔγκλημα.

90. Ἡ βὶ βονόρουμ ῥαπτόρουμ, ἥτις τὴν ποινὴν ἔχει μεθ' ἑαυτῆς, χώραν ἔχει ἐπὶ κινητῶν καὶ αὐτοκινητῶν πραγμάτων.

91. Δοῦλος ἐὰν ἁρπάσῃ πράγματα, ἐντὸς ἐνιαυτοῦ κινεῖται κατὰ τοῦ δεσπότου αὐτοῦ εἰς τὸ τετραπλοῦν ἡ βὶ βονόρουμ ῥαπτόρουμ· μετὰ δὲ τοῦ ἐνιαυτοῦ νοξαλία.

92. Ἐὰν δοῦλοι παράγωνται εἰς μαρτυρίαν, βασανιζέσθωσαν· εἶτα μετ' αὐτοὺς καὶ ὁ κατηγορούμενος καὶ μὴ ἀγανακτείτω, ὅτε σπλάγχνα φαρμάκοις ἔσβεσεν. (8)

93. Ἐάν τις τὴν κινηθεῖσαν ἀγωγὴν εἴασεν, οὐ δύναται πάλιν κινεῖν αὐτήν· ἀλλ' ἐκβάλλεται παραγραφῇ τῇ τοῦ ἀποστῆναι τῆς κατηγορίας.

94. Ἡ μήτηρ φόνον τοῦ υἱοῦ ἐκδικοῦσα οὐχ ὑπόκειται καλουμνίᾳ· ἀλλ' οὐδὲ ἐξωτικὸς κληρονόμος προσταχθεὶς τοῦτο ποιῆσαι ὑπὸ τοῦ τεστάτορος, ἐπειδὴ οὐ προαιρέσει, ἀλλ' ἐξ ἀνάγκης κινεῖ περὶ τοῦ ἐγκλήματος.

95. Ἡ τοῦ μετά[λλου] τιμωρία καὶ ἐπὶ ἐλευθέρων καὶ ἐπὶ δούλων χώραν ἔχει.

96. Ὁ ἄρχων ἣν ἐψηφίσατο τιμωρίαν οὐ δύναται ἀνακαλεῖσθαι.

97. Ἐὰν βασιλεὺς ὀργισθεὶς κελεύσῃ τινὰ τιμωρηθῆναι, μὴ ὑπομενέτω ὁ τοσοῦτος εὐθέως βασάνους, ἀλλ' εἴσω λ̄ ἡμερῶν φυλαττέσθω ἐν ἀσφαλεῖ φυλακῇ.

87. Accusatori liceat criminaliter uel ciuiliter agere. (1)

88. Iudex qui pecunias [publicas] furatus sit capite plectatur. (2)

89. [Non] potest nouerca, quæ res hereditarias ante aditionem sit furata, criminis expilatæ hereditatis rea fieri. (5)

90. Actio ui bonorum actorum, quæ cum pœna sua retrahit ablata, locum habet in mobilibus rebus et semouentibus. (6)

91. Seruus si res rapuerit, intra annum in quadruplum contra dominum eius iudicio ui bonorum raptorum agendum est: post annum noxali actione. (7)

92. Si serui interrogentur, torquantur: deinde post eos ipse reus: neque est cur ægre ferat, cum ipse uenenis uiscera [hominis] extinxerit. (9)

93. Si quis actionem institutam deseruerit, nequit denuo agere incipere: set excluditur rei destitutæ præscriptione. (10)

94. Mater filii necem uindicans calumniæ non fit obnoxia, sicuti neque extraneus heres, cui id faciendum a testatore mandatum est: quia non uoluntate, set necessitate crimen persequitur. (11)

95. Metalli supplicium tam ad liberas personas, quam ad seruos pertinet. (12)

96. Præses quam sententia sua dixit poenam reuocare non potest. (13)

97. Si princeps iratus iusserit quemuis puniri, non subeat is statim supplicium, set per dies XXX tuta custodia conseruetur. (14)

(1) Cod. 9, 22, 23 pr.
(2) Cod. 9, 28 un.
(3) Suppleui.
(4) ἐξστιπουλάτο νερεδικα τ. cod. laur.: aut. l. κινεῖσθαι, aut κινῆσαί τις.
(5) Cod. 9, 32, 3.
(6) Cod. 9, 33, 1.
(7) Cod. 9, 33, 4.
(8) Scripsi: —άκων ἔτβεσται cod. laur.
(9) Cod. 9, 41, 3.
(10) Cod. 9, 45, 4.
(11) Cod. 9, 46, 2.
(12) Cod. 9, 47, 11.
(13) Cod. 9, 47, 15.
(14) Cod. 9, 47, 20.

98. Ὁ δοὺς κατασκευὴν τοῦ πλοίου τοῖς βαρβάροις κεφαλικῶς τιμωρείσθω.

99. Ἐὰν μήτηρ δημευθῇ, ὁ φίσκος λαμβάνει τὰ πράγματα αὐτῆς· οὐ μὴν ὁ υἱός.

100. Ἐὰν ὑπεξούσιος υἱὸς δεπορτατευθῇ καὶ τὸ κανστρένσιον αὐτοῦ πεκούλιον, εἴ τι στρατευόμενος εἶχεν, ὁ πατὴρ αὐτοῦ λαμβάνει, οὐ μὴν [ὁ] (3) φίσκος.

101. Ἐὰν δεπορτάτῳ εἴπε βασιλεύς· ἀποκαθίστημί σε εἰς ἀκέραια τῇ ἐπαρχίᾳ, δοκεῖ πάντα ἀποδιδόναι αὐτῷ τὰς τιμάς, πλὴν τῆς οὐσίας.

102 (6) Ἐάν τις εἴπῃ κατα[λε]λεῖφθαι αὐτῷ ληγάτον, εἶτα, τῆς διαθήκης μὴ φαινομένης, ὁ κληρονόμος ὅρκον αὐτῷ ἐπαγάγῃ, ὁ δὲ ὀμόσῃ, εἶτα φανῇ μηδὲν αὐτῷ καταιλελεῖφθαι, ἀποκερδαίνειν αὐτὸ τὸν κληρονόμον. εἰ δὲ τῇ ἀληθείᾳ κατελείφθη τὸ ληγάτον, παρακρατεῖσθαι τὸ φαλκίδιον καὶ μηδαμῶς τινα ἐκ τῆς τοιαύτης αἰτίας πρόφασιν κέρδους ἀπενέγκασθαι.

103. Ἐάν τις ἀλλότρια δάνεια εἰς ὄνομα ἴδιον ἐπερωτήσῃ, οὐ δύναται ὁ δεσπότης κινῆσαι, εἰ μὴ ἐνταλθῇ τὴν ἐξ στιπουλάτο καὶ ἰν ρὲμ σοῦαμ προκουράτωρ γένηται.

104. (9) Ἡ ἀπόφασις ἀναψηλαφᾶται ὡς ἐπὶ τὸ πλεῖστον ἐπὶ διδομένης δηλονότι ἐκκλήτου· ὁ δὲ ὅρκος οὐκ ἀναψηλαφᾶται, εἰ μὴ ἐπὶ ἑνὸς καὶ μόνου θέματος, οἷον καινοῦ ἰνστρουμέντου εὑρεθέντος. ὅρκος δὲ οὐ πᾶς· ἀλλ' ὁ νεκεσσάριος καὶ ὁ ἰουδικιάλιος· οὐκέτι δὲ καὶ ὁ βολουντάριος, ὡς ὁ Γάϊος ἐν τῷ λα̅ διγ. τοῦ αὐτοῦ τι. καὶ βι. φησίν. (10)

105. Ἐν τοῖς ἀμφιβόλοις εἴωθεν ὁ δικαστὴς ὅρκον ἐπιφέρειν καὶ οὕτω ψηφίζεσθαι. ἐὰν οὖν ὁ καταδικασθεὶς εὑρηκέναι λέγεται μετὰ ταῦτα τὰ δικαιώματα καὶ μόνοις αὐτοῖς θελήσῃ χρή-

98. Qui conficiendi naues peritiam barbaris tradiderit, capite plectatur. (1)

99. Si mater deportetur, bona eius fiscus capit, non autem filius. (2)

100. Si filius familias deportatus sit, castrensium eius peculium, si quid militando habuerat, eius pater accipit, non fiscus. (4)

101. Si deportato dixerit imperator: *te in integrum restituo prouinciæ tuæ*, uidetur omnes honores ei restituere, præter bona. (5)

102. Si quis dixerit relictum sibi esse legatum: deinde, testamento non apparente, heres ei iusiurandum detulerit isque iurauerit, deinde appareat nil ei relictum esse, id heres lucrabitur. quod si revera legatum relictum sit, retinebitur falcidia et nullomodo ex eiusmodi causa lucrum ille sibi quæret. (7)

103. Si quis alienam pecuniam suo nomine crediderit, nequit dominus agere, nisi actio ex stipulatu sibi mandetur, et in rem suam fiat procurator. (8)

104. Sententia plerumque retractatur, scilicet per appellationem: iusiurandum non retractatur nisi uno casu, nouo scilicet instrumento adinuento. id non de omni iureiurando intellege, set de necessario et iudiciali: non de uoluntario, ut habet Gaius, l. 31 h. t. (11)

105. In dubiis causis solet iudex iusiurandum deferre et ita demum proferre sententiam. si igitur reus postæc instrumenta se inuenisse dicat et iis tantum uti uelit, rur-

(1) Cod. 9, 47, 25.
(2) Cod. 9, 49, 6.
(3) Addidi.
(4) Cod. 9, 49, 3.
(5) Cod. 9, 51, 1.
(6) Hinc incipit alia series excerptorum.
(7) Cod. 4, 1, 3.
(8) Cod. 4, 2, 2.
(9) Scholium Bas. 25, 2, 31.
(10) D. 12, 2, 31.
(11) Cf. Cod. 4, 1, 1, ad quam legem fortasse hoc scholium spectabat.

σασθαι, ἄνωθεν κινεῖ. εἰ δὲ ὁ ἀντίδικος ὑπαγάγοι τὸν ὅρκον, οὐκ ἀναψηλαφᾶται ἡ ὑπόθεσις. σημείωσαι ὅτι καὶ ἐφ' ὧν ἀναψηλαφᾶται ὁ ὅρκος (ὁ νεκεσσάριος δηλονότι καὶ ὁ ἰουδικιάλιος), οὐκ ἐφεῖται τῷ νῦν κινοῦντι ἄλλαις κεχρῆσθαι δικαιολογίαις ἢ ἀποδείξεσιν, εἰ μὴ ταῖς τῶν εὑρεθέντων ἰνστρουμέντων. [ἀναψηλαφᾶται δὲ τότε ὁ νεκεσσάριος καὶ ὁ ἰουδικιάλιος].

106. Οὓς παράγει τις μάρτυρας οὐ δύναται ἐν ἄλλῃ αἰτίᾳ κατ' αὐτὸν μαρτυροῦντας παραιτεῖσθαι, εἰ μὴ ἔχθραν γενομένην δείξῃ ἢ χρυσίου δόσει ἢ ὑποσχέσεσιν εἰληφότας.

107. Ἐπειδὴ πολλὰ τῆς ἀληθείας διὰ τῶν μαρτύρων παραβαίνεται, διὰ τοῦτο ἐάν τις ἐγγράφως χρεωστῇ, μὴ χρήσεται ἐγγράφου (3) καταβολῆς, εἰ μὴ ἄρα ε̄ μάρτυρες εἰσὶν ἀξιόπιστοι, ἀλλ' ἀμεριμνίαν λαμβανέτω. εἰ δ' ἀπόλετο ἡ ἀμεριμνία τυχηρῶς καὶ τοῦτο ἀποδείξῃ, τότε ἄδειαν ἐχέτω καὶ διὰ μαρτύρων δεικνῦναι ὅτι κατέβαλεν.

108. Ἐπὶ τῶν χρηματικῶν δικῶν ἐὰν μάρτυρες ἀναγκασθῶσιν ἐλθεῖν, εἰ μὲν ἀκουσίως παρέχοιεν ἐγγύας, ἐν αὐτῷ ἔστω· εἰ δὲ βούλονται, ὅρκον καταπιστευέσθωσαν, οἷς καὶ τὴν δύναμιν τοῦ πράγματος ὅρκῳ καταπιστεύει ὁ παράγων. ἵνα δὲ μὴ ἐπὶ πολὺ χρονίσῃ, ι̅ε̅ ἡμέρας προσκαρτερείτωσαν καὶ μόνας καὶ λεγέτωσαν ἐν αὐτοῖς ἅπερ ἴσασι μονομερεῖς, εἰ μὴ ὁ ἀντίδικος αὐτῶν εὑρεθῆναι βούλεται. μετὰ δὲ τὰς ἡμέρας ταύτας ἀναχωρείτωσαν μὴ δυνάμενοι πάλιν ἀναγκάζεσθαι. εἰ δὲ ὁ δικαστὴς ἐμποδίσῃ τοῦ μαρτυρῆσαι, τὴν ζημίαν θεραπεύσει.

109. Ἐὰν κατὰ μανδάτον ἡμέτερον ἔλθῃ τις σεκρέτον, μὴ πιστευέσθω, μηδὲ εἰ τριβοῦνον ἢ κόμητα ἑαυτὸν λέγει, εἰ μὴ δέξηται γράμματα ἡμέτερα.

sus agitur. si tamen aduersarius iusiurandum detulerit, causa non retractatur. Nota etiam in iis, in quibus iusiurandum (necessarium nempe et iudiciale) retractatur, non permitti ei aliis uti probationibus et defensionibus, nisi ex repertis instrumentis. [tunc autem retractatur iusiurandum necessarium et iudiciale]. (1)

106. Quos quis testes produxerit nequit in alia causa aduersus se testantes excipere, nisi inimicitias emersas doceat, aut pecuniæ datione aut promissione corruptos. (2)

107. Cum per testes multa ueritati contraria perpetrentur, si quis in scriptis debita rettulerit, non poterit solutionem sine scriptis factam præseferre, nisi V forte testes idoneos adducat: quin *securitatem* accipiat. si uero fortuitu perierit securitas, idque ostenderit, liceat tunc ei etiam per testes probare solutionem. (4)

108. In pecuniariis actionibus si testes uenire compellantur et sponte fideiussores constituerint, id fiat: sin autem noluerint, sacramento committantur, cum eorum sacramento ipsius quoque causæ probationem qui eos adduxerit credat. ne tamen diutius protelentur, XV dies tantummodo retineantur et dicant in isdem quæ nouerint alterutra parte præsente, si aduersa pars inueniri noluerit. post uero hos dies recedant, neque amplius retrahantur. si uero per iudicem steterit, quominus testimonium præstiterint, iacturam inlatam ipse resarciat. (5)

109. Si nostro mandato secreto quis se uenire adferat, non credatus ei, quamuis dictilet se tribunum comitemue esse, nisi nostras acceperit litteras. (6)

(1) Cfr. Bas. 22, 5, 31.
(2) Cod. 4, 20, 17.
(3) l. ἀγράφου.
(4) Cod. 4, 20, 18.
(5) Cod. 4, 20, 19.
(6) Cod. 1, 15, 1.

110. Ὁ ἐπὶ παισὶ μονάσας δύναται καὶ μετὰ τὸ μονάσαι διελεῖν τὴν οὐσίαν αὐτοῦ τοῖς ἰδίοις παισὶ φυλάττων ἑαυτῷ ἓν μέρος, ὃ καὶ τῷ μοναστηρίῳ ἁρμόσει.

Ἐὰν δ' ἀδιάθετος τελευτήσῃ, τότε οἱ παῖδες αὐτοὶ λήψονται τὸ ἐξ ἀδιαθέτου τουτέστι τὸ φαλκίδιον. καὶ τὸ λοιπὸν δίδοται τῷ μοναστηρίῳ.

111. Ὁ κηδεμὼν συγχρησάμενος τοῖς τοῦ πουπίλλου χρήμασι νόμιμον τόκον ἀπαιτεῖται.

112. Ὁ ἐπίτροπος τὰ πουπίλλια πράγματα μὴ δυνηθεὶς εὐπόροις δανεῖσαι οὐκ ἀπαιτηθήσεται τόκον ὑπὲρ αὐτῶν.

113. Περεμπτορία [παρ]αγωγή ἐστιν ἡ ἀντικειμένη τῷ ἐνάγοντι καὶ τὴν ὑπ' αὐτοῦ κινουμένην ἀγωγὴν ἀναιροῦσα.

114. Ἐάν τις τέλειαν πούραν δωρεὰν ποιήσηται, οὐ δύναται μετὰ χρόνον αἵρεσιν ἐπιτιθέναι τῷ λαβόντι, ὥςτ' οὖν οἱ λαβόντες ἰσχυρῶς ἕξουσιν.

115. Οἱ ἀφήλικες τέλειοι γενόμενοι καὶ βεβαιώσαντες τὰ πραχθέντα, οὐκέτι δύνανται ἀνατρέπειν.

116. Ὁ ἀπὸ δικαστοῦ δοθεὶς δίκαστος οὐκ ἔχει δίκαιον [τοῦ] διδόναι δικαστήν, εἰ μὴ ἀπὸ βασιλέως ἦν γινόμενος δικαστής.

117. Πάντα τὰ πράγματα φιλαγαθωτέρως ἤπερ ἀκριβιστέρως δεῖ κρίνεσθαι.

118. Ἰστέον ὅτι πρὸ τῆς προκατάρξεως ἔξεστι παραιτεῖσθαι τὸν δικαστὴν καὶ ἕτερον αἰτεῖν, μετὰ προκάταρξιν δὲ οὐκέτι, ἐπειδὴ οὐδὲ ἐκκαλεῖσθαι δυνατόν.

119. Εἰσί τινα πράγματα, ἐφ' ὧν οὐκ ἀνάγκη ἄρχοντας διαγινώσκειν. ἐπὶ τούτων οὖν ἐχέτωσαν ἄδειαν οἱ ἄρχοντες διδόναι χαμαιδικαστήν. (10)

110. Qui liberos habens monasticham uitam suscipit potest etiam postquam eam susceperit bona sua inter liberos distribuere, unam sibi partem reseruans, quæ etiam monasterio debetur.

Sin autem intestatus decesserit, tunc liberi heredes fiunt ab intestato et legitimam portionem recipiunt et quod superest monasterio datur. (1)

111. Tutor, qui pupilli pecuniis utitur, legitimas usuras præstare debet. (2)

112. Tutor, qui pupilli bona idoneis personis credere nequiuerit, usuras propterea soluere non cogitur. (3)

113. Peremptoria exceptio est quæ actori opponitur et actionem ab eo motam tollit. (4)

114. Si quis puram perfectamque donationem fecerit, non potest post tempus condicionem adicere accipienti, ut qui acceperint securi fiant. (5)

115. Minores, qui XXV annum compleuerint et quæ gesta sint rata habuerint, reuocare ea nequeunt. (6)

116. Iudex a iudice datus ius non habet iudicis dandi, nisi a principe iudex datus sit. (7)

117. Omnes res benignius quam suptilius iudicari debent. (8)

118. Admonendi sumus ante litem contestatam iudicem excipi posse alterumque peti; post litem contestatam non amplius, quia neque prouocare licet. (9)

119. Sunt quædam causæ, de quibus non est necesse magistratus cognoscere: in his igitur habeant facultatem iudicem pedaneum dandi. (11)

(1) Nouella Breuiarii Theodori 123 § 76.
(2) Cod. 5, 56, 1.
(3) Cod. 5, 56, 3.
(4) Inst. (Pseudotheoph) 4, 13, 9 cf. Cod. 8, 35, 8.
(5) Cod. 8, 54 (55) 4.
(6) Cod. 2, 45 (46), 2.
(7) Cod. 3, 1, 5.
(8) Ibid. fr. 8.
(9) Fr. 16 ibid.
(10) Cod. laur. σχῆμα δ̄ καστοῦ.
(11) Cf. Cod. 3, 3, 5.

120. Ἐάν τις ἐν τῷ βιβλίῳ πλεῖον οὗ χρεωστεῖται ἐγγράψῃ, τριπλάσιον δίδωσ. τῷ ἀντιδίκῳ, ὅσον ἕνεκα τῆς ὑπερπραξίας σπορτούλων δέδωκε τῷ ἐκβιβαστῇ.

121. Ἐν τῇ τεσσαρακοστῇ τοῦ πάσχα ἀργείτωσαν αἱ ἐγκληματικαὶ ζητήσεις.

122. Ἐν ταῖς πασχαλίαις ἡμέραις, εἴτε δημοσία εἴτε ἰδιωτικὴ εἴσπραξις εἴη, ἡσυχαζέτω. ἐμαγκιπατίων δὲ ἡ ἐλευθερία γινέσθω, πραττομένων ὑπομνημάτων.

123. Οἱ λησταὶ καὶ μάλιστα οἱ ἴσαυροὶ συσχεθέντες, εἴτε ἐν τῇ τεσσαρακοστῇ εἴτε ἐν ταῖς πασχαλίαις ἡμέραις, τιμωρείσθωσαν ὅπως ἂν οἱ λοιποὶ σῶοι διαμένοιεν.

124. Μεταξὺ στρατιώτου καὶ ἰδιώτου ἄκτορος ὁ στρατηγὸς ἀκροᾶται, ὁπότε ὁ στρατιώτης καὶ ἐπὶ τῶν ἁμαρτημάτων παρὰ τῷ ἰδίῳ δικαστῇ ἐξετάζεται.

125. Πᾶς ἐχέτω ἄδειαν εἴτε στρατιώτην εἴτε ἰδιώτην ἐμφωλεύοντα ἀγροὺς καὶ ἐπιβουλὴν μελετῶντα ἀναιρεῖν. κάλλιον γὰρ ὑπαντᾶν αὐτῷ ἢ τελευταῖον ἐκδίκησιν ποιεῖσθαι.

126. Ἐὰν ἡ μήτηρ σου ἀμέτρους δωρεὰς εἰς τὸν ἀδελφόν σου ἐποίησεν, ὥστε τὸ γ μέρος μὴ καταλείπειν σοι, τὸ ἀμέτρως γινόμενον ἀνακληθήσεται.

127. Ἐὰν ἡ μήτηρ σου ἢ ὁ ἀνήρ σου, ἀπούσης ἢ ἀγνοούσης [σοῦ], ἀγρὸν ἐπώλησε, δύνασαι τοῦτο ἐκδικεῖν μὴ παρέχουσα τὴν τιμήν. εἰ δὲ μετὰ ταῦτα ἢ συνήνεσες, ἢ ἄλλῳ τρόπῳ τὴν δεσποτείαν ἀπώλεσες, κινήσεις περὶ τοῦ τιμήματος κατὰ τοῦ πεπρακότος τὸ νεγοτιόρουμ γεστόρουμ.

128. Ἡ παρολκὴ τῆς δίκης οὐ συμβάλλεται εἰς μακροῦ χρόνου παραδρομήν.

120. Si quis in libello maiorem summam, quam quæ debeatur, inserat, in triplum aduersario restituat, quod is propter sportularum taxationem exactori dederit. (1)

121. Quadraginta diebus, qui paschale tempus anticipant, criminalium quæstionum cesset cognitio. (2)

122. Paschalibus diebus actus tam publici quam priuati conquiescant. emancipatio autem siue manumissio locum habeat, actis confectis. (3)

123. Latrones et maxime Isauri deprehensi siue tempore quadragesimæ, siue paschalibus diebus, puniantur, ut ceteri incolumes permaneant. (4)

124. Inter uirum militarem et priuatum actorem dux militaris cognoscit, cum etiam in criminibus a proprio iudice in militem inquiratur. (5)

125. Cuique liceat siue militem siue priuatum in agris latentem et insidias meditantem occidere. satius est enim ei occurrere, quam sero post exitum uindicare. (6)

126. Si mater tua immensas donationes in fratrem tuum contulit, ut III^a pars tibi non relinqueretur, quod siue modo factum est reuocabitur. (7)

127. Si mater tua aut uir tuus, [te] absente uel ignorante, fundum tuum uendidit, potes hunc uindicare, nec pretium restituere teneris. si uero postea aut ratum habuisti aut alio modo dominium amisisti, ad pretium consequendum negotiorum gestorum actione aduersus uenditorem experieris. (8)

128. Litis mora longi temporis præscriptionem non operatur. (9)

---

(1) Cod. 3, 10, 2.
(2) Cod. 3, 12, 5 (6).
(3) Ibid. const. 7, (8).
(4) Ibid. const. 9 (11).
(5) Cod. 3, 13, 6.
(6) Cod. 3, 27, 1 pr.
(7) Cod. 3, 29, 1.
(8) Cod. 3, 32, 3.
(9) Cod. 3, 32, 26.

129. Ἐὰν παρὰ τὸ παλαιὸν σχῆμα οἶκον ὕψωσεν ὁ γείτων, ὥστε τοῖς φωσί σου ἐμποδίζειν καὶ ἔχεις δίκαιον τοῦ κωλύειν, τοῦτο ποιήσεις, τοῦ δικαστοῦ μὴ ἀγνοοῦντος δουλείαν τῷ μακρῷ χρόνῳ μόνῳ [περιποιεῖσθαι], εἰ μὴ βίᾳ ἢ λάθρα ἢ πραεκαρίῳ ὁ ἐναγόμενος νέμεται.

130. Ἐάν τις εἰς τὴν ὕλην σου ἐμβάλῃ πῦρ ἢ ἐκκόψῃ αὐτὴν κατὰ ἀδικίαν, κρατεῖται τῷ ἀκουιλίῳ.

131. Ὁ φονεύσας δοῦλον οὐ μόνον τῷ ἀκουιλίῳ κατέχεται, ἀλλὰ καὶ τῷ ἐγκληματικῷ.

132. Τὸ φαμιλίαε ἐρκισκούνδαε καὶ τὸ κομμοῦνι διβιδοῦνδο τότε κινεῖται, ὅτε τὰ σωματικὰ πράγματα κοινά εἰσιν.

133. Εἰ τὰ συμβόλαιά σου ὑφείλετό τις ἀντίδικος, δύνασαι καὶ ἐγκληματικῶς κατηγορεῖν καὶ τὸν ἀδ ἐξιβένδουμ συνήθει τρόπῳ κινῆσαι.

134. Ἡ τοῦ ὅρκου καταφρονηθεῖσα εὐσέβεια ἱκανὸν τὸν Θεὸν ἔχει τίμωρον· εἰ γὰρ ἐπιορκῇ τις, τὸν Θεὸν τιμωρὸν ἔχει· οὐ μὴν τιμωρεῖται, ἀλλ' οὐδὲ ἐγκληματικῶς τῷ τῆς μεγαλότητος ὑποπίπτει, εἰ καὶ ἀπὸ θερμότητος κατὰ τοῦ βασιλέως ὀμόσας ἐπιορκήσῃ.

